10 τοῦτο ἔσται ὑμῖν ὅρια ἀπὸ βορρᾶ. [10]καὶ καταμετρήσετε ὑμῖν αὐ-
11 τοῖς τὰ ὅρια ἀνατολῶν ἀπὸ Ασερναιν Σεπφαμα· [11]καὶ καταβήσε-
ται τὰ ὅρια ἀπὸ Σεπφαμ Αρβηλα ἀπὸ ἀνατολῶν ἐπὶ πηγάς, καὶ
καταβήσεται τὰ ὅρια Βηλα ἐπὶ νώτου θαλάσσης Χεναρα ἀπὸ ἀνα-
12 τολῶν· [12]καὶ καταβήσεται τὰ ὅρια ἐπὶ τὸν Ιορδάνην, καὶ ἔσται ἡ
διέξοδος θάλασσα ἡ ἁλυκή. αὕτη ἔσται ὑμῖν ἡ γῆ καὶ τὰ ὅρια
13 αὐτῆς κύκλῳ. [13]καὶ ἐνετείλατο Μωυσῆς τοῖς υἱοῖς Ισραηλ λέγων
Αὕτη ἡ γῆ, ἣν κατακληρονομήσετε αὐτὴν μετὰ κλήρου, ὃν τρόπον
συνέταξεν κύριος τῷ Μωυσῇ δοῦναι αὐτὴν ταῖς ἐννέα φυλαῖς καὶ
14 τῷ ἡμίσει φυλῆς Μανασση· [14]ὅτι ἔλαβεν φυλὴ υἱῶν Ρουβην καὶ
φυλὴ υἱῶν Γαδ κατ᾽ οἴκους πατριῶν αὐτῶν, καὶ τὸ ἥμισυ φυλῆς
15 Μανασση ἀπέλαβον τοὺς κλήρους αὐτῶν, [15]δύο φυλαὶ καὶ ἥμισυ
φυλῆς ἔλαβον τοὺς κλήρους αὐτῶν πέραν τοῦ Ιορδάνου κατὰ Ιε-
ριχω ἀπὸ νότου κατ᾽ ἀνατολάς.
16 17 [16]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [17]Ταῦτα τὰ ὀνό-
ματα τῶν ἀνδρῶν, οἳ κληρονομήσουσιν ὑμῖν τὴν γῆν· Ελεαζαρ ὁ
18 ἱερεὺς καὶ Ἰησοῦς ὁ τοῦ Ναυη. [18]καὶ ἄρχοντα ἕνα ἐκ φυλῆς λήμ-
19 ψεσθε κατακληρονομῆσαι ὑμῖν τὴν γῆν. [19]καὶ ταῦτα τὰ ὀνόματα
20 τῶν ἀνδρῶν· τῆς φυλῆς Ιουδα Χαλεβ υἱὸς Ιεφοννη· [20]τῆς φυλῆς
21 Συμεων Σαλαμιηλ υἱὸς Εμιουδ· [21]τῆς φυλῆς Βενιαμιν Ελδαδ υἱὸς
22 23 Χασλων· [22]τῆς φυλῆς Δαν ἄρχων Βακχιρ υἱὸς Εγλι· [23]τῶν υἱῶν
24 Ιωσηφ φυλῆς υἱῶν Μανασση ἄρχων Ανιηλ υἱὸς Ουφι, [24]τῆς φυ-
25 λῆς υἱῶν Εφραιμ ἄρχων Καμουηλ υἱὸς Σαβαθα· [25]τῆς φυλῆς Ζα-
26 βουλων ἄρχων Ελισαφαν υἱὸς Φαρναχ· [26]τῆς φυλῆς υἱῶν Ισσα-
27 χαρ ἄρχων Φαλτιηλ υἱὸς Οζα· [27]τῆς φυλῆς υἱῶν Ασηρ ἄρχων
28 Αχιωρ υἱὸς Σελεμι· [28]τῆς φυλῆς Νεφθαλι ἄρχων Φαδαηλ υἱὸς
29 Βεναμιουδ. [29]οὗτοι οἷς ἐνετείλατο κύριος καταμερίσαι τοῖς υἱοῖς
Ισραηλ ἐν γῇ Χανααν.
35 [1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν ἐπὶ δυσμῶν Μωαβ παρὰ
2 τὸν Ιορδάνην κατὰ Ιεριχω λέγων [2]Σύνταξον τοῖς υἱοῖς Ισραηλ καὶ
δώσουσιν τοῖς Λευίταις ἀπὸ τῶν κλήρων κατασχέσεως αὐτῶν πό-
λεις κατοικεῖν καὶ τὰ προάστεια τῶν πόλεων κύκλῳ αὐτῶν δώ-
3 σουσιν τοῖς Λευίταις, [3]καὶ ἔσονται αὐτοῖς αἱ πόλεις κατοικεῖν, καὶ
τὰ ἀφορίσματα αὐτῶν ἔσται τοῖς κτήνεσιν αὐτῶν καὶ πᾶσι τοῖς
4 τετράποσιν αὐτῶν. [4]καὶ τὰ συγκυροῦντα τῶν πόλεων, ἃς δώσετε

10 αρσεναειν B* ($B^{c}$ ασερν.) | σεπφαμα F] -μαρ BA: cf. 11 || 11 σεπφαμ αρβηλα Ra. (sim. Gra.)] σεπφαμαρ βηλα rel. | χεναρα] χενερεθ A || 12 εσται υμιν] tr. B† || 13 τω μωυση > $AB^{c}$ || 15 κατ] προς A || 17 υμιν > A† | ο του] υιος A† || 20 εμιουδ: cf. 1 10 || 22 βακχιρ] βοκκι A | εγλ(ε)ι $B^{(\dagger)}$] εκλι $A^{(\dagger)}$ || 23 ουφ(ε)ι $F^{c\dagger}$] σουφι B, ουφιδ A || 24 σαβαθαν $A^{(\dagger)}$ || 27 αχιωβ A† || 28 βεναμιουδ Ra. (sim. quaedam uersiones)] βενιαμ(ε)ιουδ B†, αμιουδ A || 29 ουτοι οις] τουτοις B† | καταμετρησαι τους υιους A
35 3 αυτοις / αι πολεις] tr. A